## LXXIX

εἰνόδιον στείχοντα μεσημβρινὸν εἶδον Ἄλεξιν
ἄρτι κόμαν καρπῶν κειρομένου θέρεος·
διπλαῖ δ' ἀκτῖνές με κατέφλεγον, αἱ μὲν Ἔρωτος
παιδὸς ἀπ' ὀφθαλμῶν, αἱ δὲ παρ' ἠελίου.
ἀλλ' ἃς μὲν νὺξ αὖθις ἐκοίμισεν, ἃς δ' ἐν ὀνείροις
εἴδωλον μορφῆς μᾶλλον ἀνεφλόγισεν·
λυσίπονος δ' ἑτέροις ἐπ' ἐμοὶ πόνον ὕπνος ἔτευξεν,
ἔμπνουν πῦρ ψυχῇ κάλλος ἀπεικονίσας.

## LXXX

ἡδὺ μὲν ἀκρήτῳ κεράσαι γλυκὺ νᾶμα μελισσῶν,
ἡδὺ δὲ παιδοφιλεῖν καὐτὸν ἐόντα καλόν·
οἷα τὸν ἁβροκόμην στέργει Κλεόβουλον Ἄλεξις·
†θνατὸν ὄντως τὸ† Κύπριδος οἰνόμελι.

## LXXXI

οὔριος ἐμπνεύσας ναύταις Νότος, ὦ δυσέρωτες,
ἥμισύ μευ ψυχᾶς ἅρπασεν Ἀνδράγαθον.
τρὶς μάκαρες νᾶες, τρὶς δ' ὄλβια κύματα πόντου,
τετράκι δ' εὐδαίμων παιδοφορῶν ἄνεμος·
εἴθ' εἴην δελφίς, ἵν' ἐμοῖς βαστακτὸς ἐπ' ὤμοις
πορθμευθεὶς ἐσίδῃ τὰν γλυκύπαιδα Ῥόδον.

## LXXXII

ἀρνεῖται τὸν Ἔρωτα τεκεῖν ἡ Κύπρις ἰδοῦσα
ἄλλον ἐν ἠιθέοις Ἵμερον Ἀντίοχον.